*πᾶς γὰρ ἱππηλάτας* στρ. ε΄
*καὶ πεδοστιβὴς λεὼς*
*σμῆνος ὡς ἐκλέλοιπεν μελισσ-*
*ᾶν σὺν ὀρχάμῳ στρατοῦ,*
*τὸν ἀμφίζευκτον ἐξαμείψας*
*ἀμφοτέρας ἅλιον*
*πρῶνα κοινὸν αἴας.*

*λέκτρα δ' ἀνδρῶν πόθῳ*
*πίμπλαται δακρύμασιν·*
*Περσίδες δ' ἀκροπενθεῖς ἑκά-*
*στα πόθῳ φιλάνορι*
*τὸν αἰχμάεντα θοῦρον εὐνα-*
*τῆρα προπεμψαμένα*
*λείπεται μονόζυξ.*

*ἀλλ' ἄγε, Πέρσαι,*
*τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον,*
*φροντίδα κεδνὴν καὶ βαθύβουλον*
*θώμεθα, χρεία δὲ προσήκει·*
*πῶς ἄρα πράσσει*
*Ξέρξης βασιλεὺς Δαρειογενής,*
*τὸ πατρωνύμιον γένος ἁμέτερον·*

---

νοῦ πάλιν τὸ μή. μὴ ῥῆξις πέσῃ πέπλοις. **127.** ἐκλέλοιπεν] καταλελοίπασι τὴν πόλιν ἀκολουθοῦντες Ξέρξῃ ὡς μέλισσαι τὸ σμῆνος. **130.** τὸν ἀμφίζευκτον: τὸν ζευγνύντα ἄμφω τὰς ἠπείρους, ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. ἢ τὸν ὑποζευχθέντα· βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης. **131.** ἅλιον] τὸν Ἑλλήσποντον· οἱ δὲ ὅτι Ταῦρον τὸ ὄρος. **132.** πρῶνα: τὸν προνεύοντα εἰς ἄμφω τὰς ἠπείρους. ἢ τὸν κανὸν ἑκατέρας γῆς. μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας. **133.** ἀνδρῶν] τῇ ἀπουσίᾳ αὐτῶν. **135.** ἀκροπενθεῖς] ἐπιμόνως πενθοῦσαι· ὡς δοκεῖν ἁβρύνεσθαι ἐπὶ τὸ πενθεῖν. **136.** πόθῳ φιλάνορι] μετὰ φιλάνορος πόθου. **139.** μονόζυξ] ἄνευ τοῦ ἀνδρός. **143.** χρεία δὲ] ὁ δὲ ἀντὶ τοῦ γάρ· ἡ γὰρ χρεία προσῆκον ποιεῖ τὸ βουλεύεσθαι. **146.** πατρωνύμιον] ὅτι κατὰ πατέρα συγγενὴς ἡμῖν, τοῦτ' ἔστιν ὁ ἐκ προγόνου